Οὐδ' ὡσιεῖ Κλεωνύμῳ.
Χλαῖναν δ' ἔχων φανὴν, δίει.
Κοὐ ξυντυχὼν Ὑπέρβολος
Δικῶν ἀναπλήσει.
Οὐδ' ἐντυχὼν ἐν τῇ 'γορᾷ προσεισί σοι βαδίζων
Κρατῖνος. ἀεὶ κεκαρμένος μοιχὸν, μιᾷ μαχαί-
ρα.
Οὐδ' ὁ περιπόνηρος Ἀρτέμων
Ὁ ταχὺς ἄγαν τὴν μουσικὴν,
Ὄζων κακὸν τῶν μασχαλῶν,
Πατρὸς τραγασαίου.
Οὐδ' αὖθις αὖ σε σκώψεται Παύσων ὁ παμπό-
νηρος.
Λυσίστρατός τ' ἐν ἀγορᾷ Χολαργέων ὄνειδος.
Ὁ περιαλουργὸς τοῖς κακοῖς
Ῥιγῶν τε καὶ πεινῶν ἀεί.
Πλεῖν ἢ τριάκονθ' ἡμέρας
Τοῦ μηνὸς ἑκάστου.

*Nec te premet Cleonymus:*
*I, læna amictus splendida:*
*Nusquam incidens Hyperbolus*
*Te lite replebit.*
*Nec obuius tibi in foro occurret Cratinus ille,*
*Qui semper est cinædicè tonsus ab vna macha-*
*ra:*
*Nec consceleratus Artemo,*
*Arte expeditus Musica,*
*Hircum sub alis malè qui olet,*
*Ex patre caprino.*
*Sed neque conuicijs incesset te Pauso scelestus,*
*Neque in foro Lysistratus opprobrium Cholar-*
*gicorum:*
*Qui mala profundè cogitans,*
*Subinde friget & esurit,*
*Plusquam triginta per dies,*
*Quouis propè mense.*

Σχόλια. Οὐδ' ὡσιεῖ Κλεωνύμῳ] ὠθήσεις. ἀντὶ τοῦ οὐδὲ πιεσθήσῃ ὑπὸ Κλεωνύμου ἀναγκάζοντος σε κινεῖν. ἔστι δὲ Κλεώνυμος ὡς ἀδηφάγος καὶ ῥίψασπις κωμῳδεῖται. Ὑπέρβολος] τοῦτον ὡς φιλόνεικον διαβάλλει συνεχῶς Ἀριστοφάνης. ἦν δὲ στρατηγὸς Ἀθηναίων. φανὴν δὲ λαμπράν. δίει δὲ διελεύσῃ. Κρατῖνος.] ἔστι μελῶν ποιητής. κωμῳδεῖται δὲ ἐπὶ μοιχείᾳ καὶ ὡς ἀσέμνως κειρόμενος. μοιχὸς δὲ εἶδος καὶ ὄνομα κουρᾶς ἀπρεποῦς κιναιδώδους. Οὐδ' ὁ περιπόνηρος.] ὡσεὶ ἔλεγεν ὁ περιφόρητος Ἀρτέμων ἀπὸ τῆς παροιμίας. ἧς μέμνηται καὶ Ἀνακρέων ταχθείσης ἐπὶ καλοῦ καὶ ἁρπαζομένου πρὸς πάντων παιδός. παρ' ὑπόνοιαν δὲ ἔφη, τὸ Ἀρτέμων. οὐ γὰρ τοῦτον ἀλλὰ τὸν Κρατῖνον βούλεται δηλώσειν. συνεχρόνισε δὲ τῷ δικαίῳ Ἀριστείδῃ ἔστιν ὁ Ἀρτέμων. ὃς ἦν ἄριστος μηχανητής. διὰ δὲ τὸ χωλὸν αὐτὸν εἶναι, ὅπου ἂν κατειλήφει πόλεμος καὶ χρεία μηχανῆς ἦν ἐπὶ τὸ τεῖχος καταβληθῆναι ἢ τὸ τοιοῦτον μετεπέμποντο αὐτὸν φερόμενον. ἀπὸ τούτου οὖν ἡ παροιμία. καὶ πάντες οἱ σοφοὶ, περιφόρητοι καλοῦνται. Ὁ ταχὺς ἄγαν τὴν μουσικήν.] ὡς ἐπὶ τροχοῦ ποιοῦντος αὐτοῦ ποιήματα. ἦν γὰρ καὶ μελοποιός. Ὄζων] ὡς δυσώδη διαβάλλει αὐτόν. τραγασαίου γὰρ διὰ τὴν τῶν τράγων δυσωδίαν εἶπε. Λυσίστρατος.] ἐπὶ μαλακίᾳ διεβάλλετο. ἐν ἐνίοις γὰρ καὶ πένης ὁ αὐτὸς καὶ κυβευτής. ἐκαλεῖτο γὰρ καὶ χηναλώπηξ. Χολαργέων] δῆμος Ἀττικῆς οἱ Χολαργεῖς τῆς Ἀκαμαντίδος φυλῆς. Ὁ περιαλουργός.] ὁ κακοῖς βεβαμμένος, ἢ βαθὺς τοῖς κακοῖς. μετενήνεκται δὲ ἡ λέξις ἀπὸ τῆς βαφῆς τῆς πορφυρᾶς τῆς θαλάσσης. ὅτι ἐκ βάθους τὸ ὄστρακον εὑρίσκεται. ἁλουργὴς ἐσθὴς ἡ πορφυρᾶ. Πλεῖν ἢ τριάκονθ' ἡμέρας.] ἀντὶ τοῦ τριάκοντα ἡμέρας. ὁ γὰρ μὴν τριάκοντα ἡμέραις πληροῦται.

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ Σκηνὴ πρώτη.

### ΒΟΙΩΤΟΣ, ΔΙΚΑΙΟΠΟΛΙΣ.

## ACTVS IIII. SCENA prima.

### BOEOTVS, DICAEOPOLIS.

Βισ. Προσέρχεται Βοιωτὸς διάφορα διαφόρων βρωμάτων φορτία φέρων εἰς τὴν Ἀττικὴν ἀγοράν, ταῦτα πωλήσων. Κορωνὶς ἐκ στίχων ογ'.

Βοι. Ἴττω Ἡρακλῆς. ἔκαμόν γα τὰν τύλαν κα-
κῶς.
Κατάθου τὺ τὰν γλάχων' ἀτρέμας Ἰσμηνία.
Ὑμεῖς δ' ὅσοι Θείβαθεν αὐληταὶ πάρα,
Τοῖς ὀστίνοις φυσῆτε τὸν πρωκτὸν κυνός.
Δι. Παῦ' ἐς κόρακας. οἱ σφῆκες οὐκ ἀπὸ τῶν θυ-
ρῶν;
Πόθεν προσέπτανθ' οἱ κακῶς ἀπολούμενοι
Ἐπὶ τὴν θύραν μοι χαιρεδεῖς, βομβαύλιοι.
Βοι. Νὴ τὸν Ἰόλαον ἐπιχαρίτως γ' ὦ ξένε.
Θείβαθι γὰρ φυσῶντες ἐξόπισθέ μου,
Καί τ' ἄνθεα τᾶς γλάχωνος ἀπέκιξαν χα-
μαί.
Ἀλλ' εἴτι βούλει πρίασθαι, ἐγὼ φέρω,
Τῶν ὀρταλίχων ἢ τῶν τετραπτερυλλίδων.

*BOE.* *Sciat Hercules: callum peperit mihi hic*
*labor,*
*Depone tu pulegium placidè Ismenia:*
*At vos, qui adestis, Thebani tibicines,*
*Agite osseis inflate podicem canis.*
DI. *Abi in malam rem: non ibitis ab ostio.*
*Vos vespæ? vnde aduolârunt hæ malè perditæ*
*Mihi ad ostium, bombisonæ volucres Charidis?*
*BOE. Per Iolaum, ex animi sententia, mi ho-*
*mo.*
*Nam ponè qui flant, Thebani tibicines*
*Sunt, & flores pulegij abiecerunt humi;*
*At si lubet, aliquid istorum eme, quæ huc affe-*
*ro,*
*Aliquid gallinarum, aut cicadarum, mi homo.*

Δι. Ὦ